Γ. ΑΔΙΔΑΚΤΟ ΚΕΙΜΕΝΟ

Πλάτων, Νόμων Α, 641 a3 - c7
(Platonis Opera, ed. Oxford Classical Texts)

Στο παρακάτω απόσπασμα από το 1ο βιβλίο του έργου του Πλάτωνα Νόμοι ο Αθηναίος Ξένος εξηγεί στον Κλεινία τον ρόλο της παιδείας στη διαμόρφωση ενάρετων πολιτών και στις επιτυχίες της πόλης σε στρατιωτικό επίπεδο.

ΚΛ. Παντάπασιν τοῦτό γε ἀληθὲς εἴρηκας, ὦ ξένε· τοὐπὶ τῷδε δ' ἡμῖν λέγε, τί ποτε, ἂν γίγνηται τοῦτο ὀρθὸν τὸ περὶ τὰς πόσεις νόμιμον, ἀγαθὸν ἂν δράσειεν ἡμᾶς; οἷον, ὃ νυνδὴ ἐλέγομεν, εἰ στράτευμα ὀρθῆς ἡγεμονίας τυγχάνοι, νίκη πολέμου τοῖς ἑπομένοις ἂν γίγνοιτο, οὐ σμικρὸν ἀγαθόν, καὶ τἆλλ' οὕτω· συμποσίου δὲ ὀρθῶς παιδαγωγηθέντος τί μέγα ἰδιώταις ἢ τῇ πόλει γίγνοιτ' ἄν;
ΑΘ. Τί δέ; παιδὸς ἑνὸς ἢ καὶ χοροῦ παιδαγωγηθέντος κατὰ τρόπον ἑνός, τί μέγα τῇ πόλει φαῖμεν ἂν γίγνεσθαι; ἢ τοῦτο οὕτως ἐρωτηθέντες εἴποιμεν ἂν ὡς ἑνὸς μὲν βραχύ τι τῇ πόλει γίγνοιτ' ἂν ὄφελος, εἰ δ' ὅλως ἐρωτᾷς παιδείαν τῶν παιδευθέντων τί μέγα τὴν πόλιν ὀνίνησιν, οὐ χαλεπὸν εἰπεῖν ὅτι παιδευθέντες μὲν εὖ γίγνοιντ' ἂν ἄνδρες ἀγαθοί, γενόμενοι δὲ τοιοῦτοι τά τε ἄλλα πράττοιεν καλῶς, ἔτι δὲ κἂν νικῷεν τοὺς πολεμίους μαχόμενοι. παιδεία μὲν οὖν φέρει καὶ νίκην, νίκη δ' ἐνίοτε ἀπαιδευσίαν· πολλοὶ γὰρ ὑβριστότεροι διὰ πολέμων νίκας γενόμενοι μυρίων ἄλλων κακῶν δι' ὕβριν ἐνεπλήσθησαν, καὶ παιδεία μὲν οὐδεπώποτε γέγονεν Καδμεία[1], νῖκαι δὲ ἀνθρώποις πολλαὶ δὴ τοιαῦται γεγόνασίν τε καὶ ἔσονται.

---

1. Καδμεία νίκη: Πύρρειος νίκη, νίκη με μεγάλες απώλειες

ΕΡΩΤΗΣΕΙΣ

Γ1. Να γράψετε στο τετράδιό σας τη μετάφραση του παρακάτω αποσπάσματος: **«τοὐπὶ τῷδε… ἢ τῇ πόλει γίγνοιτ' ἄν;».**

Μονάδες 10

Γ2. Ποιες είναι οι ωφέλειες της παιδείας στην πόλη και ποια η διαφορά της νίκης του πεπαιδευμένου από τη νίκη του απαίδευτου;

Μονάδες 10

Γ3. α. «ὃ νυνδὴ ἐλέγομεν, εἰ στράτευμα ὀρθῆς ἡγεμονίας τυγχάνοι, νίκη πολέμου τοῖς ἑπομένοις ἂν γίγνοιτο»: να μεταφέρετε τα ρήματα και τους ρηματικούς τύπους του αποσπάσματος στον μέλλοντα στον τύπο που βρίσκονται και να γράψετε το επίθετο του αποσπάσματος στους άλλους βαθμούς, στην ίδια πτώση, γένος και αριθμό.

(μονάδες 6)

β. «εἰ δ’ ὅλως ἐρωτᾷς παιδείαν τῶν παιδευθέντων»: να ξαναγράψετε στο τετράδιό σας το απόσπασμα μεταφέροντας τους κλιτούς τύπους στον αντίθετο αριθμό.

(μονάδες 4)

Μονάδες 10

Γ4. α. Να χαρακτηρίσετε συντακτικά τους όρους: **παιδὸς, εἰπεῖν, εὖ, ὑβριστότεροι, κακῶν, δι’ ὕβριν.**

(μονάδες 6)

β. «παιδαγωγηθέντος» (το πρώτο του κειμένου): Να χαρακτηρίσετε τη μετοχή (μονάδα 1) και να την αναλύσετε στην αντίστοιχη δευτερεύουσα πρόταση (μονάδες 2) αιτιολογώντας την επιλογή σας (μονάδα 1).

(μονάδες 4)

Μονάδες 10

Επαναληπτικές πανελλαδικές εξετάσεις ΓΕΛ και Εσπερινών ΓΕΛ 2022.